Αμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.
Ὑμμιν δὲ, παῖδες Αλάτα, πολλὰ μὲν νι-
καφόρον ἀγλαΐαν
Ωπασάν', ἄκραις ἀρεταῖς,
Ὑπερελθόντων ἱεροῖς
Εἰν ἀέθλοισιν· πολλὰ δ' ἐν
Καρδίαις ἀνδρῶν ἔβαλον

ἐπῳδὸς ά. κώλων ιά'.

Ὧραι πολυάνθεμοι ἀρ-
χαῖα σοφίσματ'. ἅπαν δ' εὐρόντος ἔργον.

consulentis Themidis. * Volunt autem arcere injuriam, satietatis matrem audaci-loquam. Habeo honestaque loqui, audaciaque mihi recta linguam incitat ad-dicendum. Sed difficile *est* celare ingenitos mores. Vobis autem, filii Aletae, saepe quidem victorialem splendorem praebuerunt *eorum, qui* summis virtutibus superarunt sacris in certaminibus: multas vero *etiam* in corda hominum immiserunt * horae multum-floridae antiquas artes. Omne vero inven-

Ταὶ Διωνύσυ πόθεν ἐξέφαναν
Σὺν βοηλάτᾳ χάριτες
Διθυράμβῳ; τίς δὲ ἱππεί-
οις ἐν ἔντεσιν μέτρα;
Ἢ θεῶν ναοῖσιν οἰω-
νῶν βασιλῆα δίδυ-
μον ἔνθηκ'; ἐν δὲ μοῖσ' ἀδύπνοος,
Εν δ' Αρης ἀνθεῖ νέων
Οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.

στροφὴ β'. κώλων ια'.

Ὕπατ' εὐρὺ ἀνάσσων Ολυμπίας,
Αφθόνᾳος ἔπεσσιν
Γένοιο χρόνον ἄπανλα, Ζεῦ πάτερ,
Καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων,
Ξενοφῶνλος εὔθυνε δαίμονος ῥοπάν.

toris opus *est*. Bacchi unde apparebant cum boves-agente venustates dithyrambo? quis vero equestribus in instrumentis mensuras? aut deorum templis volucrum regem geminum posuit? ibi vero Musa suave-spirans, et ibi Mars floret juvenum exitiosis praeliis virorum. * O summe late dominans Olympiae, non-invidens carminibus *meis* sis *per* tempus omne, Jupiter pater, et huncce populum indemnem regens, Xenophontis dirige fortunae ventum. Accipeque

Δέξαι δέ οἱ ϛεφάνων ἐγκώμιον τε-
θμὸν, τὸν ἄγει πεδίων
Ἐκ Πίσας, πεντάθλῳ ἅμα
Σταδίῳ νικῶν δρόμον. ὐκ
Αντεβόλησεν τῶν ἀνὴρ
Θνατὸς ὔπω τὶς πρότερον.

ἀντιϛροφὴ Β'. κώλων ια'.

Δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελί-
νων ἐν Ἰσθμιάδεσσιν
Φανέντα· Νεμέα τ' ὐκ ἀντίξοει.
Πατρὸς δὲ Θεσσαλῶ ἐπ' Αλφεῶ
Ῥεέθροισιν ἄγλα ποδῶν ἀνάκειται·
Πυθοῖ τ' ἔχει ϛαδίῳ τιμὰν, διαύλῳ
Θ', ἁλίῳ ἀμφ' ἐνὶ· μη-
νός τέ οἱ τωὐτῷ κραναᾶις

ejus coronarum laudatoriam legem, quam reportat campis ex Pisae, *cum* quinquertio simul stadii vincens cursum. Non consecutus - est haec vir mortalis unquam aliquis antea. * Duoque ipsum texerunt plicamenta apiorum in Isthmiadibus conspectum: Nemeaque non discrepat. Patris autem Thessali ad Alphei fluenta decus pedum repositum - est: Delphisque habet stadii honorem, diaulique, sole in uno: menseque ipsi eodem asperis

Εν Αθάναισι, τρία μὰν
Εργα ποδαρκὴς ἁμέρα
Θῆκε κάλλις' ἀμφὶ κόμαις·

ἐπῳδὸς β'. κώλων ια'.

Ἑλλώτια δ' ἑπτάκις. ἐν
Δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν
Πτοιοδώρῳ σὺν πατρὶ, μακρότεραι
Τερψίᾳ θ' ἕψοντ', Εριτί-
μῳ τ' ἀοιδαί. ὅσα τ' ἐν Δελ-
φοῖσιν ἀριςεύσαλε
Ηδὲ χόρτοις ἐν λεόντος,
Δηρίομαι πολέσιν
Περὶ πλήθει καλῶν· ὡς μὰν σαφὲς
Οὐκ ἄν εἰδείην λέγειν
Ποντίαν ψάφων ἀριθμόν.

in Athenis, tria sane opera celeri-pes dies posuit pulcherrima circa comas: * Hellotiaque septies. In mari-cinctis autem Neptuni ritibus Ptoeodoro cum patre, longius-petita Terpsiamque sequentur, Eritimumque carmina. Quoties etiam in Delphis viceritis, et septis in leonis, certo *cum* multis de multitudine honestorum: ut sane clare non norim recensere marinorum calculorum numerum.* Sequitur

στροφὴ γ'. κώλων ια'.

Ἕπεται δ' ἐν ἑκάστῳ μέτρον. νοῆσαι δὲ καιρὸς ἄριστος.
Ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλείς,
Μῆτίν τε γαρύων παλαιγόνων,
Πόλεμόν τ' ἐν ἡρωΐαις ἀρεταῖσιν,
Οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ. Σίσυφον μὲν,
Πυκνόταλον παλάμαις,
Ὡς θεόν, κὴ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν
Τὸν γάμον αὐτᾷ, ναΐ σώτειραν Ἀργοῖ, κὴ προπόλοις.

ἀντιστροφὴ γ'. κώλων ια'.

Τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ πρὸ Δαρδάνω
Τειχέων ἐδόκησαν

vero in quolibet modus. Intelligere vero occasio est optima. Quin ego privatus in commune missus, prudentiamque laudans majorum, bellumque in heroicis virtutibus, non mentiar de Corintho. Sisyphum quidem, prudentissimum artificiis, ut Deum, et quae patrem contra Medeam paravit nuptias sibi, navis servatricem Argus, et vectorum. * Quando vero olim fortiter ante Dardani muros visi sunt

Επ' ἀμφότερα μαχᾶν τέμνειν τέλος,
Τοὶ μὲν, γένει φίλῳ σὺν Ατρέως,
Ἑλέναν κομίζοντες, οἱ δ' ἀπὸ πάμπαν
Εἴργοντες. ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα τρόμεον Δαναοί.
Τοῖσι μέν ἐξεύχετ', ἐν ἄστει Πειράνας σφετέρᾳ
Μὲν πατρὸς ἀρχὰν, κῆ βαθὺν
Κλᾶρον ἔμμεν, κῆ μέγαρον,

ἐπῳδὸς γ'. κώλων ια'.

Ὅς τᾶς ὀφιώδεος ἱ-
όν ποτε Γοργόνος, ἢ πόλλ' ἀμφὶ χρυσοῖς,
Πάγασον ζεῦξαι ποθέων, ἔπαθεν,
Πρίν γέ οἱ χρυσάμπυκα κύ-
ρα χαλινὸν Παλλὰς ἤνεγ-

ex utraque-parte pugnarum secare finem, alii quidem, progenie chara cum Atrei, Helenam repetentes, alii vero omnino resistentes: ex Lycia vero Glaucum profectum timuerunt Danai. Ad-quos quidem gloriabatur, in urbe Pirenes sui quidem patris regnum, et magnas opes esse, ac domum *illius*, *qui serpentigerae filium olim Gorgonis, sane multa circa fontes, Pegasum fraenare cupiens, pertulit, antequam ei aureas-phaleras-habens puella fraenum Pallas attulit. Ex

κ'. ἐξ ὀνείρου δ' αὐτίκα
Ἦν ὕπαρ. φώνασε δ'· εὕδεις
Αἰολίδα βασιλεῦ;
Αγε φίλτρον τόδ' ἵππειον δέχου,
Καὶ δαμαίῳ μὶν, θύων
Ταῦρον ἀργὸν, πατρὶ δεῖξον.

στροφὴ δ'. κώλων ια'.

Κυαναιγὶς ἐν ὄρφνᾳ κνώσοντί οἱ
Παρθένος τόσα εἰπεῖν
Εδοξεν. ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.
Παρκείμενον δ' συλλαβὼν τέρας,
Επιχώριον μάντιν ἄσμενος εὗρεν,
Δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευταὶν
Πράγμαλος, ὡς τ' ἀνὰ βω-
μῷ θεᾶς κοιτάξαλο νύ-

somnio autem statim erat resevidens. Dixit autem: Dormis Aeolida rex? Age delinimentum hoc equinum accipe, et domitori illud, sacrificans taurum nitidum, patri ostende. * Caerulum-scutum-gerens noctu dormienti ei virgo *haec* tanta dicere visa-est. Exsilit autem recto pede. Adjacensque quum-arripuisset prodigium, indigenam vatem gaudens reperit, aperuitque Coeranidae totam summam rei, quomodo in ara deae-dormiisset noctu,

κτ', ἀπ' ἐκείνυ χρήσιος· ὅπ-
πως τέ οἱ αὐτὰ Ζηνὸς ἐγ-
χειχεραύνυ παῖς ἔπορεν

ἀντιστροφὴ δ'. κώλων ια'.

Δαμασίφρονα χρυσῆν. ἐνυπνίῳ
Δ' ὡς τάχιστα πιθέσθαι
Κελήσατό μιν· ὅταν δ' εὐρυσθενεῖ
Καρταίποδ' αὐρύῃ γεαόχῳ,
Θέμεν ἱππείᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.
Πληροῖ δὲ θεῶν δύναμις κἠτὰν παρ' ὅρκον
Καὶ παρὰ ἐλπίδα, κύ-
φαν κτίσιν γ'. ἤτοι κἠ ὁ καρ-
τερὸς ὁρμαίνων ἔλαβεν
Βελλεροφόνλας, φάρμακον
Πραὺ τείνων ἀμφὶ γένυ,

juxta ipsius oraculum: quomodoque sibi ipsa Jovis fulminatoris filia dederit * ferociae-domitorem aureum. Somnio vero quam celerrime parere jussit ipsum: et postquam praepotenti robustum pedibus *taurum* mactarit Neptuno, exstruere equestri aram statim Minervae. At implet deorum potentia ultraque jurandum et spem, leve opus. Certe et fortis alacri animo accepit Bellerophontes, remedium mite tendens circa mandibulas, * e-

ἐπῳδὸς δ'. κώλων ια'.

Ἵππον πλερόεντ'. ἀναβὰς
Δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.
Σὺν δ' ἐκείνῳ καί ποτ' Αμαζονίδων,
Αἰθέρος ψυχρᾶς ἀπὸ κόλ-
πων ἐρήμᾳ, τοξόταν βάλ-
λων γυναικεῖον στρατὸν·
Καὶ Χίμαιραν πῦρ πνέοισαν·
Καὶ Σολύμους ἔπεφνεν.
Διασιγάσομαι αὐτῷ μόρον.
Τὸν δ' ἐν Οὐλύμπῳ φάτναι
Ζηνὸς ἀρχεῖαι δέχονται.

στροφὴ ε'. κώλων ια'.

Ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμ-
βον, παρὰ σκοπὸν ὑ χρὴ

quum alatum. Ubi-ascendit, statim vero in armis aeratus ludebat. Cum illo autem etiam olim Amazonidum, aëris frigidi è sinibus deserti, sagittatorem jaculis-petens muliebrem exercitum: et Chimaeram ignem spirantem: et Solymos interfecit. Reticebo ejus mortem. Illum autem *equum* in Olympo praesepia Jovis antiqua recipiunt, * me autem rectum jaculorum mittentem turbinem, praeter scopum

Τὰ πολλὰ βέλεα καρτύνειν χερῶιν.
Μοίσαις γὰρ ἀγλαοθρόνοις ἔκων,
Ολιγαιθίδαισίν τ' ἔβαν ἐπίκυρος,
Ἰσθμοῖ, τὰ τ' ἐν Νεμέᾳ. παύρῳ δ' ἔπειθή-
σω φανέρ' ἀθρῶ· ἀλα-
θὴς τέ μοι ἔξορκος ἐπέσ-
σεται. ἑξηκοντάκι γὰρ
Αμφοτέρωθέν γ' ἀδύγλωσ-
σος βοὰ κάρυκος ἐσλῦ.

ἀντιστροφὴ ε'. κώλων ια'.

Τά δ' Ολυμπία αὐτῶν, ἔοικεν ἤ-
δη πάροιθε λελέχθαι·
Τὰ τ' ἐσόμενα τότ' ἄν φαίην σαφές.
Νῦν δ' ἔλπομαι μὲν· ἐν Θεῷ γε μὰν
Τέλος. εἰ δὲ δαίμων γενέθλιος ἔρποι,

non decet multa jacula firmare manibus. Musis enim soliasplendidis cedens, Oligaethidis veni administer, *propter gesta* in-Isthmo, et in Nemea. At brevi sermone faciam manifesta multa: veraxque mihi jusjurandum aderit. Sexagies enim utrinque dulcilinguis vox praeconis boni *iis audita est.* * *Gesta* autem Olympiae eorum, videntur jam antea dicta esse: futura autem tunc dixerim aperte. Nunc autem spero quidem: verum in Deo eventus. Si vero daemon congeni-

Διῒ τῦτ' Ενυαλίῳ τ' ἐκδώσομεν πράσσειν. τὰ δ' ἐπ' ὀφρύϊ Παρναασίᾳ, ἀμφ' Αργεί Θ' ὅσσα, κ) ἐν Θήβαις, ὅσα τὲ Αρκάσ' ἀνάσσων, μαρτυρήσει Λυκαίυ βωμὸς ἄναξ,

ἐπῳδὸς ε'. κώλων ιά'.

Πελλάνα τὲ, κ) Σικυών, Καὶ Μέγαρ', Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος, Α" τ' Ελευσὶς, κ) λιπαρὰ Μαραθὼν, Ταὶ Θ' ὑπ' Αἴτνας ὑψιλόφυ Καλλίπλοι πόλιες, ἅ τ' Εὔβοια. κ) πᾶσαν κατὰ Ἑλλάδ' εὑρήσεις ἐρευνῶν Μάσσον', ἢ ὡς ἰδέμεν.

tus serpat, Jovi hoc Martique trademus efficiendum. Quae autem in vertice Parnassio, in Argisque quam-multa, et in Thebis, quam-multaque Arcadas vincens *gesserit*, testabitur Lycaei *Jovis* ara regina, Pelleneque et Sicyon, et Megara, Aeacidarumque bene-septus lucus, Eleusisque, et opulenta Marathon, quaeque sub Aetna *sunt* altijugae divitiis-florentes urbes, et Euboea. Et totam per Graeciam invenies inquirens majora, quam ut *mente* perspicias.

Αλλὰ κώφοισιν ἐκνεῦσαι ποσὶν
Ζεῦ τέλει, αἰδῶ διδὺς,
Καὶ τύχαν τερπνῶν γλυκεῖαν.

Sed levibus exire *me* pedibus dans, et felicitatem *rerum* de-
ô Jupiter facito, reverentiam lectabilium dulcem.

ΕΙΔΟΣ ΙΔ'.

ΑΣΩΠΙΧΩι ΟΡΧΟΜΕΝΙΩι, ΠΑΙΔΙ ΚΛΕΟΔΑΜΟΥ, ΣΤΑΔΙΕΙ.

Εἶδος μονοστροφικὸν.

στροφὴ ά. κώλων ιή.

Καφησίων ὑδάτων λαχοῖ-
σαι, αἵ τε ναίετε καλλίπωλον ἕ-
δραν, ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ορχομενῦ,
Παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
Κλῦτ', ἐπεὶ εὔχομαι·
Σὺν γὰρ ὑμῖν τὰ τερπνὰ κἠ τὰ γλυκέα
Γίνεται πάντα βροτοῖς·
Εἰ σοφὸς, εἰ καλὸς, εἴ τις ἀγλαὸς
Ανήρ. ὅτε γὰρ θεοὶ

ODE XIV. ASOPICHO ORCHOMENIO, FILIO CLEODAMI, STADII CURSORI.

Ode monostrophica.

Cephisias aquas sortitae, quaeque colitis pulcris equis-claram sedem, ô splendidae celebres reginae Gratiae Orchomeni, antiquorum Minyarum praesides, audite, quoniam preces-fundo. Per vos enim jucunda et dulcia eveniunt omnia hominibus: si sapiens, si pulcher, si quis splendidus vir est. Neque enim dii veneran-

Σεμνᾶν Χαρίτων ἄτερ
Κοιρανέουσι χορούς,
Οὔτε δαῖτας· ἀλλὰ πάντων
Ταμίαι ἔργων ἐν ὑρανῷ,
Χρυσότοξον θέμεναι
Παρὰ Πύθιον Απόλλωνα θρόνους,
Αἰέναον σέβουσι πατρὸς
Ολυμπίου τιμάν.

στροφὴ β'. κώλων ιζ'.

Πότνι' Αγλαΐα, φιλησίμολπέ
Τ' Εὐφροσύνα, θεῶν κρατίστω παῖδες,
Επάκουοι νῦν· Θαλία τὲ ἐ-
ρασίμολπε, ἰδοῖσα τόνδε
Κῶμον ἐπ' εὐμενεῖ τύχᾳ
Κῶφα βαῶντα, Λυδίῳ γὰρ

dis absque Gratiis regunt choros, neque convivia: sed omnium dispensatrices operum in coelo, aureo-arcu-insignem habentes juxta Pythium Apollinem thronos, sempiternum colunt patris Olympii honorem. * Colenda Aglaia, cantuumque-amans Euphrosyna, deorum summi filiae, exauditrices nunc *estote:* Thaliaque cantuum-amans, conspicata hunc chorealem hymnum ob propitiam sortem leviter incedentem, Lydio e-

Ασώπιχον ἐν τρόπῳ,
Εν μελέταις τὲ ἀείδων,
Μόλον· ἕνεκ' Ολυμπιόνικος ἁ Μινύεια
Σεῦ ἕκατι, μελαντειχέα δόμον
Φερσεφόνας ἴθι ἀχοῖ,
Πατρὶ κλυτὰν φέροισ' ἀγ-
γελίαν, Κλεόδαμον ὄφρα ἰδοῖσ', ὑ-
όν εἴπῃς, ὅτι οἱ νέαν,
Κόλποισι παρ' εὐδόξοιο Πίσας,
Εξεφάνωσε κυδίμων ἀέθλων
Πτεροῖσι χαίταν.

nim Asopichum in modo, inque praemeditatis-carminibus celebrans, veni: quoniam Olympica-victrix Minyea te propter, nigros-muros-habentem domum Proserpinae accede cum-resonantia, patri celebre afferens nuncium, Cleodamum ut conspicata, *de* filio dicas, quod sibi juvenilem, sinus apud illustris Pisae, coronaverit inclytorum certaminum alis caesariem.

ΤΑ ΤΟΥ

ΠΙΝΔΑΡΟΥ ΠΥΘΙΑ.

ΕΙΔΟΣ Α'.

ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩι, ΣΥΡΑΚΟΥΣΙΩι, ΫΑΡΜΑΤΙ.

στροφὴ α'. κώλων ιϐ'.

ΧΡΥΣΕΑ φόρμιγξ, Απόλλωνος καὶ ἰοπλοκάμων
Σύνδικον Μοισᾶν κτέανον.
Τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά·
Πείθονται δ' ἀοιδοὶ σάμασιν,
Ἀγησιχόρων ὁπόταν τῶν φροιμίων
Ἀμβολὰς τεύχῃς ἐλελιζομένα·
Καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις

PINDARI PYTHIA.

ODE I. HIERONI AETNEO, SYRACUSANO, CURRU VICTORIAM ADEPTO.

O Aurea cithara, Apollinis, et violaceos-crines-habentium conveniens Musarum possessio. Quam audit quidem gressus, laetitiae initium: obtemperant vero *et* concentores signis, choros-ducentium quando hymnorum praeludia facias leniter-percussa: et cuspidatum fulmen extin-

Αενάϱ πυρός. εὖ-
δει ἀνὰ σκάπῳ Διὸς αἰετὸς, ὠ-
κεῖαν πτέρυγ' ἀμφοτέρω-
θεν χαλάξαις,

ἀντιϱροφὴ ά. κώλων ιϛ'.

Αρχὸς οἰωνῶν· κελαινῶ-
πιν δ' ἐπί οἱ νεφέλαν
Αγκύλῳ κρατὶ, βλεφάρων
Ἀδὺ κλαΐϱον, κατέχευας. ὁ δὲ κνώσσων
Ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
Ῥιπαῖσι καταχόμενος. κ̀ὴ γὰϱ βια-
τὰς Αρης, τραχεῖαν ἄνευθε λιπὼν
Εγχέων ἀκμὰν, ἰαίνει καρδίαν
Κώμαλι. κῆλα δὲ κ̀ὴ
Δαιμόνων θέλγει φρένας, ἀμφί τε Λα-

guis perpetui ignis. Dormit vero super sceptro Jovis aquila, velocem alam utrinque demittens, * rex avium: obscuram vero ei nebulam super adunce-rostratum caput, palpebrarum suave claustrum, offundis. At illa dormiens madidum tergum effert, tuis jaculationibus occupata. Quin etiam violentus Mars, asperam ubi seposuit hastarum cuspidem, delectat cor *tuo* cantu. Tela vero *tua* etiam daemonum mulcent animos, cum

τοῖδα σοφία. βαθυκόλ-
πων τὲ Μοισᾶν.

ἐπῳδὸς ἀ. κῶλων ιε'.

Ὅσσα δὲ μὴ πεφίληκε
Ζεὺς, ἀτύζονται βοὰν
Πιερίδων ἀΐοντα,
Γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον·
Ὅς τ' ἐν αὐνᾷ Ταρτάρῳ κεῖ-
ται, θεῶν πολέμιος,
Τυφὼς ἑκατονταχάρανος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώ-
νυμον ἄντρον· νῦν γε μὰν
Ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι,
Σικελία τ' αὐτᾷ πιέζει
Στέρνα λαχνάενθα· κίων

Latoidae sapientia, et quae profunde-succinctos-sinus-habent Musarum. *Quoscunque vero non amat Jupiter, *illi* consternantur vocem Pieridum ubi-audierint, tam in terra quam in mari impetuoso: *qualis est ille* qui in horrendo Tartaro jacet, deorum hostis, Typhos *inquam* centiceps: quem olim Cilicium enutrivit famosum antrum: nunc vero et quae supra Cumam mari-septa littora, et Sicilia *superimposita* ejus premit pectora hirsuta: columna

Δ' ὑρανία συνέχει
Νιφόεσσ' Αἴτνα, πάνελες
Χιόνος ὀξείας τιθήνα·

στροφὴ β'. κώλων ιβ'.

Τᾶς ἐρεύγονται μὲν ἀπλά-
τυ πυρὸς ἀγνόταται
Ἐκ μυχῶν παγαί· ποταμοὶ
Δ' ἀμέραισιν μὲν προχέοντι ῥόον καπνῦ
Αἴθωνα· ἀλλ' ἐν ὄρφναισιν, πέτρας
Φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντυ πλάκα σὺν πατάγῳ.
Κεῖνο δ' Ἀφαίστοιο χρυσὺς ἕρπετὸν
Δεινοτάτυς ἀναπέμ-
πει· τέρας μὲν θαυμάσιον προσιδέ-
σθαι· θαῦμα δὲ καὶ παριόν-

vero coelestis *eum* cohibet, nivosa Aetna, per totum-annum nivis acute-gelidae nutrix: *cujus eructantur inaccessi i.e. *furentissimi* ignis liquidissimi ex cavernis fontes: fluviique *igniti* profundunt fluxum fumi candentem: noctu vero, saxa punicea evoluta flamm in profundum defert maris a quor cum fragore. Illa a tem Vulcani bellua gurgit horrendissimos ejectat: pro gium quidem mirabile aspe tu: mirandum vero et tran

των ἀκῦσαι,

ἀντιστροφὴ β'. κώλων ιϛ'.

Οἷον Αἴτνας ἐν μελαμφύλ-
λοις δέδεται κορυφαῖς,
Καὶ πέδῳ· στρομνὰ δὲ χαράσ-
σοισ', ἅπαν νῶτον πολιχεκλιμένον κενεῖ.
Εἴη, Ζεῦ, τὶν εἴη ἀνδάνειν,
Ὅς τᾶτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τᾷ μὲν ἐπωνυμίαν
Κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
Γέιτονα· Πυθιάδος
Δ' ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν, ἀγ-
γέλλων Ἱέρωνος ὕπερ
Καλλινίκᾳ

euntibus auditu, * quomodo Aetnae inter nigri-frondes ligatus-sit *Typhon* vertices, et *inter* fundamina: lectus vero sculpens, totum dorsum inclinatum pungat. Fiat, Jupiter, fiat, *me* tibi placere, qui hunc administras montem fertilis terrae frontem, cui *monti* cognominem inclytus conditor claram-fecit urbem vicinam: Pythiadis *siquidem* in cursu praeco proclamavit eam, nuncians *spectatoribus* de Hierone splendido-victore * cur-

ἐπῳδὸς β'. κώλων ιε'.

Ἄρμασι. ναυσιφορήτοις
Δ' ἀνδράσι πρῶτα χάρις
Ες πλόον ἐρχομένοις, πομ-
παῖον ἐλθεῖν ὕδρον· ἐοικότα γὰρ
Κἀν τελευτᾷ φερτέρῳ νό-
ῳ τυχεῖν. ὁ δὲ λόγος
Ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,
Λοιπὸν ἔσεσθαι σεφάνοι-
σί τε ἵπποις τὲ κλυτάν,
Καὶ σὺν εὐφώνοις θαλίαις ὀνομασάν.
Λύκιε, κ᾽ Δάλοι᾽ ἀνάσσων
Φοῖβε, Παρνασῶ τὲ κράναν
Κασταλίαν φιλέων,
Εθελήσαις ταῦτα νόῳ

ribus. Qui vero navibus-vehuntur viris prima gratia *seu felicitas est*, navigationem auspicantibus, *sibi* secundum venire ventum: verisimile enim etiam in fine feliciorem reditum *eos* consecuturos. Atque haec ratio hosce propter eventus opinionem affert, deinceps futuram esse *Aetnam* coronis equisque *victoribus* inclytam et in dulcisonis conviviis celebrem. O Lycie, et Delo imperans Phoebe, Parnasique fontem Castaliam amans, velis haec *quae cano* animo p

Τιθέμεν, εὐανδρόν τε χώραν.

στροφὴ γ'. κώλων ιϛ'.

Ἐκ θεῶν γὰρ μαχαναὶ πᾶ-
σαι βροτέαις ἀρεταῖς·
Καὶ σοφοὶ, κ᾽ χερσὶ βια-
ταὶ, περιγλωσσοί τ᾽ ἔφυν. ἄνδρα δ᾽ ἐγὼ
κεῖνον
Αἰνῆσαι μενοινῶν, ἔλπομαι
Μὴ χαλκοπάραον ἄκοντ᾽ ὠσεί τ᾽ ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
Μακρὰ δ᾽ ἐκρίψαις ἀμεύσασθ᾽ ἀντίους.
Εἰ γὰρ ὁ πᾶς χρόνος ὅλ-
βων μὲν ὕτω, κ᾽ κλεάνων δόσιν εὐ-
θύνοι, καμάτων δ᾽ ἐπίλα-
σιν παράσχοι·

ture, et bene-viris-instructam regionem. * A diis enim conatus omnes humanis virtutibus reniunt: et *divinitus* sapientes, et manibus fortes, facundique nascuntur. At virum ego illum andare in animo-habens, spe- non aerea-cuspide-munitam sagittam ut extra certamen jacturum, manu vibrantem, sed longe ejaculatum victurum adversarios. Utinam enim omne tempus felicitatem quidem sic, et opum donationem dirigat, dolorum vero *morbi* oblivionem praebeat:

ἀντιστροφὴ γ'. κώλων ιϛ'.

Ηκεν ἀμμνάσειεν οἵαις
Εν πολέμοισι μάχαις
Τλάμονι ψυχᾷ παρέμει-
ν', ἀνίχ' εὑρίσκοιτο θεῶν παλάμαις τιμὰν,
Οἵαν ὕτις Ἑλλάνων δρέπει,
Πλόστυ στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν
Τὰν Φιλοκλήταο δίκαν ἐφέπων,
Εστρατεύθη. σὺν δ' ἀνάγκᾳ μιν φίλον
Καί τις ἐὼν μεγαλά-
νωρ, ἔσανεν. φαντὶ δὲ Λαμνόθεν ἕλ-
κει τειρόμενον μεταλλάσ-
σοντας ἐλθεῖν

ἐπῳδὸς γ'. κώλων ιε'.

Ἥρωας ἀντιθέους Ποί-

* Certe in-mentem-revocaturum-esset qualibus in bellis pugnis toleranti animo perseveranter-interfuerit, cum invenerint diis juvantibus honorem, qualem nemo Graecorum decerpit, opum decus magnificum. Nunc quidem Philoctetae morem imitatus militavit. Ex necessitate vero ei amico etiam aliquis existens magnanimus, blanditus-est. Aiunt vero e-Lemno ulcere vexatum *abducendum* investigaturos *eo* venisse * heroas divinos Poeantis filium

αὖλος ὑὸν τοξόταν·
Ὃς Πριάμοιο πόλιν πέρ-
σεν, τελεύτασέν τε πόνους Δαναοῖς,
Ἀθενεῖ μὲν χρωτὶ βαίνων·
Ἀλλὰ μοιρίδιαν ἦν.
Οὕτω δ' Ἱέρωνι Θεὸς ὀρθωτὴρ πέλοι
Τὸν προσέρποντα χρόνον, ὧν
Ἐραῖαι, καιρὸν διδύς.
Μῶισα, χὰρ Δεινομένει κελαδῆσαι,
Πείθεό μοι, ποινὰν τεθρίππων.
Χάρμα δ' ὐκ ἀλλότριον νι-
καφορία πατέρος.
Ἀγ', ἔπειτ' Αἴτνας βασιλεῖ
Φίλιον ἐξεύρωμεν ὕμνον.

sagittatorem: qui Priami urbem evertit, finivitque labores Danais, infirmo sane corpore incedens: sed *ita fieri* fatale erat. Sic vero Hieroni Deus rector adsit sequenti tempore, *eorum* quae optat, opportunam - facultatem tribuens. O Musa, et apud Dinomenem ad-canendum, obsequere mihi, praemium quadrigarum. Gaudium enim non alienum *à filio* victoria patris. Age, deinceps *futuro* Ætnae regi gratum ex-

στροφὴ δ'. κώλων ιϛ'.

Τῷ πόλιν κείναν θεοδμά-
τῳ σὺν ἐλευθερίᾳ,
Ὑλλίδος σάθμας Ἱέρων
Εν νόμοις ἔκλιασε. θέλοντι δὲ Παμφύλῳ
Καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι,
Οχθαις ὕπο Ταϋγέτᾳ ναίοντες, αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιῷ
Δωριῆς. ἔσχον δ' Αμύκλας ὄλβιοι,
Πινδόθεν ὁρνύμενοι,
Λευκοπώλων Τυνδαριδᾶν βαθύδο-
ξοι γείτονες, ὧν κλέος, ἄν-
θησεν αἰχμᾶς.

ἀντιστροφὴ δ'. κώλων ιϛ'.

Ζεῦ τέλει· αἰεὶ δὲ τοιαύ-

cogitemus hymnum. * Cui urbem illam divinitus-fundata cum libertate, Hyllidis amussis Hiero in legibus condidit. Volunt vero Pamphyli atque etiam Heraclidarum posteri, sub collibus Taygeti habitantes, semper manere in legibus Ægimii Dorienses. Sed coluerunt Amyclas fortunati, e Pindo profecti, albis-equis-vectorum Tyndaridarum celeberrimi vicini, quorum gloria floruit hastae *i. e. virtutis bellicae.* * Jupiter perfice *quae peto :* semperque talem, A-

ταν, Αμένα παρ' ὕδωρ,
Αἶσαν, ἀϛοῖς κ) βασιλεῦ-
σιν, διακρίνειν ἔτυμον λόγον ἀνθρώπων,
Σὺν τοι τίν κεν ἀγητὴρ ἀνὴρ,
Γίῳ τ' ἐπιτελλόμενος, δᾶμόν τε γέ-
ρων τράποι σύμφωνον ἐφ' ἡσυχίαν.
Λίσσομαι, νεῦσον Κρονίων, ἄμερον
Οφρα κατ' οἶκον ὁ Φοί-
νιξ, ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ,
Ναυσίϛονον ὕβριν ἰδὼν,
Τὰν πρὸ Κύμας.

ἐπῳδὸς δ'. κώλων ιε'.

Οἷα Συρακοσίων ἀρ-
χῷ δαμαθέντες πάθον,
Ωκυπόρων ἀπὸ ναῶν·

menae juxta aquam *habitanti-*
bus, fortunam, largire civibus
et regibus, ut dijudicent ve-
ram famam hominum, tua o-
pe vir ductor *ad virtutem*, fi-
lioque praecipiens, populum-
que senex vertat ad concor-
dem pacem. Supplex oro, an-
nue Saturnie, pacifica ut in
domo Phoenix, Tyrrheno-
rumque strepitus *se* contineat,
navibus suis noxiam cladem
intuitus, quae ante Cumam *ei*
venit : * qualia Syracusiorum
à duce victi passi sunt, ve-
locibus a navibus : qui ipsis

Ὃς σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας
Δυλείας. αἰρέομαι
Πὰρ μὲν Σαλαμῖνος, Αθηναίων χάριν,
Μιῶδόν· ἐν Σπάρτᾳ δ' ἐρέω
Πρὸ Κιθαιρῶνος μάχαν·
Ταῖσι Μῆδοι μὲν κάμον ἀγκυλότοξοι·
Πὰρ δὲ γε τὰν εὔυδρον ἀκτὰν
Ἱμέρα, παίδεσσιν ὕμνον
Δεινομένευς τελέσαις,
Τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
Πολεμίων ἀνδρῶν καμόντων.

στροφὴ ε'. κώλων ιϛ'.

Καιρὸν εἰ φθέξαιο, πολλῶν
Πείραλα συντανύσαις

in mari disjecit juventutem, Graeciam extrahens à gravi servitute. Amplector quidem apud Salaminem Atheniensium, beneficium, mercedem: et in Sparta dicam ante Cithaeronem *commissam* pugnam: quibus Medi laborarunt curvos-arcus gerentes: veruntamen ad pulchre-aquosam ripam Himerae, filiis hymnum Dinomenis *ubi prius* perfecero, quem accipere-promeriti sunt per virtutem, hostibus viris profligatis. * Opportune dixeris, multarum rerum sum-

Εν βραχεῖ· μείων ἔπειμι
Μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμβλύνει
Αἰανὴς ταχείας ἀπάδις.
Ἀσῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει, μάλις' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
Αλλ' ὅμως, κρέασων γὰρ οἰκλιρμῶν φθόνος,
Μὴ παρίει καλὰ· νώ-
μα δικαίῳ πηδαλίῳ στρατὸν, ἀ-
ψευδεῖ δὲ πρὸς ἄκμονι χάλ-
κευε γλῶσαν.

ἀντιστροφὴ ε'. κώλων ιϛ'.

Εἴ τι κὴ φλαῦρον παραθύσ-
σει, μέγα τοι φέρειαι
Πὰρ σέθεν. πολλῶν ταμίας

mas complexus *oratione* in brevi: minor sequitur reprehensio hominum. Nam satietas obtundit ingrata celeres mentes. Civium vero fama occulte animum molestat, maxime bona ob aliena. Attamen, nam melior miserationibus invidia, ne praetermittas honesta: guberna justo clavo populum, veracemque ad incudem fabricando-quasi-forma linguam. * Si quid enim quantumvis leve a-te-profectum fuerit, magnum utique circumfertur a te. Multorum

Εστί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.
Εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
Εἴπερ τι φιλεῖς ἀκοὰν ἀδεῖαν ἀ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
Ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
Ἰσίον ἀνεμόεν,
Μὴ δολωθῇς ὦ φίλε, εὐτραπέλοις
Κέρδεσ'. ὁπιαθόμβροτον αὔ-
χημα δόξας,

ἐπῳδὸς ε'. κῶλων ιε'.

Οἷον ἀποιχομένων ἀν-
δρῶν δίαιταν μανύει,
Καὶ λογίοις, κ᾽ ἀοιδοῖς.
Οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά.
Τὸν δὲ ταύρῳ χαλκέῳ καυ-

administrator es: multi testes *sunt* ambobus fide-digni. *Tu* vero generoso in proposito permanens, si vel-tantillum amas famam dulcem semper audire, ne defatigeris valde sumptibus: sed expande tanquam *navis* gubernator vir ventosum, ne fallaris, ô amice, urbanis lucris. Post mortem-sequens gloriatio laudis, * sola defunctorum virorum vitae-rationem indicat, tam per-oratores, quam per-poetas. Non perit Crœsi comitatem-sapiens virtus. At in

τῆρα, νηλέα νόον
Ἐχθρὰ Φάλαριν κατέχει πανλᾶ φάτις·
Οὐδέ μιν φόρμιγγες ὑπω-
ρόφιαι κοινωνίαν
Μαλθακὰν παίδων ὀάροισι δέχονται.
Εὖ δὲ παθεῖν, τὸ πρῶτον ἄθλων·
Εὖ δ' ἀκοῦσαι, δευτέρα μοῖ-
ρ'. ἀμφοτέροισι δ' ἀνὴρ
Ὃς ἂν ἐγκύρσῃ, κῆ ἕλῃ,
Στέφανον ὕψιστον δέδεκται.

tauro aeneo *hominum* ustulatorem, saevum mente odiosa Phalarin tenet ubique fama: neque ipsum citharae domesticae *in* consortium suave puerorum sermonibus admittunt. At bona fortuna uti, primum praemiorum: bene vero audire, secunda *est* felicitas. *In* utraque autem vir quicunque inciderit, et *ea* acceperit, *is* coronam summae dignitatis accepit.

ΕΙΔΟΣ Β'.

ΤΩι ΑΥΤΩι ΙΕΡΩΝΙ, ΑΡΜΑΤΙ.

στροφὴ α'. κώλων ιέ.

Μεγαλοπόλιες ὦ Συρά-
κοσαι, βαθυπολέμυ
Τέμενος Αρεος, ἀνδρῶν
Ἵππων τὲ σιδαροχαρμᾶν
Δαιμόνιαι τροφοί·
Υμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν
Φέρων μέλος ἔρχομαι,
Αγγελίαν τετραορίας ἐλελίχθονος·
Εὐάρμαλος Ἱέρων ἐν ᾇ κρατέων,
Τηλαυγέσιν ἀνέδησεν Ορ-
τυγίαν σεφάνοις,
Ποταμίας ἕδος Αρτέμιδος·

ODE II. EIDEM HIERONI, CURRU VICTORIAM ADEPTO.

Grandiurbes ô Syracusae, bellicosi delubrum Martis, virorum equorumque armis-ferreis-gaudentium felices alumnae: vobis hoc praeclaris a Thebis afferens carmen venio, nuncium quadrigarum terram-quatientium: curru-vincendi-artifex Hiero in qua vincens, eminus-fulgentibus redimivit Ortygiam coronis fluvialis sedem Dianae: qua

Τᾶς ὐκ ἄτερ, κείνας ἀγαναῖσιν ἐν
Χερσὶ ποικιλανίοις
Εδάμασσε πώλους.

ἀντιστροφὴ ά. κώλων ιε'.

Επὶ γὰρ ἰοχέαιρα παρ-
θένος, χερὶ διδύμᾳ,
Ὅ,τ' ἐναγώνιος Ἑρμᾶς,
Αἰγλᾶνλα τίθησι κόσμον,
Ξεσὸν ὅταν δίφρον,
Εν δ' ἅρμαλα πεισιχάλινα καταζευ-
γνύῃ θένος ἵππειον,
Ορσοτρίαιναν εὐρυβίαν καλέων θεόν.
Αλλοις δέ τις ἐτέλεσεν ἄλλος ἀνὴρ
Εὐαχέα βασιλεῦσιν ὕ-
μνον, ἄποιν' ἀρετᾶς.

non sine, illius agilibus in manibus, pictis-habenis-ornatus domuit pullos. * Nam sagittis gaudens virgo, manu gemina, praesesque-certaminum Mercurius, radiantem imponit ei ornatum, politum quando ad currum, adque capistra habenis-parentia junxit robur equinum, tridentigerum late-potentem invocans Deum. Aliis vero aliquis perficere-solet alius vir canorum regibus hymnum, praemium virtutis. *Nam*

Κελαδέονλι μὲν ἀμφὶ Κινύ-
ραν πολλάκις φᾶμαι Κυπρίων, τὸν ὁ
Χρυσοχαίτας προφρόνως
Εφίλασ' Απόλλων,

ἐπῳδὸς ά. κώλων ιδ'.

Ἱερέα κτίλον Αφροδίτας.
Αγει δὲ χάρις φίλων
Ποίτινος ἀντὶ ἔργων
Οπιζομένα. σὲ δ' ὦ Δεινομένειε παῖ,
Ζεφυρία πρὸ δόμων
Λοκρὶς παρθένος ἀπύει,
Πολεμίων καμάτων ἐξ ἀμαχάνων,
Διὰ τεὰν δύναμιν, δραμεῖσ' ἀσφαλές.
Θεῶν δ' ἐφετμαῖς,
Ιξίονα φαντὶ ταῦτα

resonant quidem circa Cinyram saepe laudes Cypriorum, quem auricomus propense dilexit Apollo, * sacerdotem principem-et-familiarem Veneris. Impellit autem *ad hoc* gratia amicorum remuneratrix pro *bene* factis sequens. Te vero ô Dinomenee fili, Zephyria ante aedes Locrensis virgo *sonora voce* celebrat, bellicis laboribus ex *sibi* insuperabilibus, propter tuam potentiam, currens secure. Deorum autem mandatis Ixionem aiunt haec mortalibus di-

Βροτοῖς λέγειν, ἐν πλεῤόεντι τροχῷ
Παντᾶ κυλινδόμενον,
Τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς
Ἐποιχομένους τίνεσθαι.

τροφὴ Β'. κώλων ιε'.

Ἔμαθε δὲ σαφές. εὐμενέσ-
σι γὰρ παρὰ Κρονίδαις
Γλυκὺν ἑλὼν βίοτον, μα-
κρόν γ' ὐχ ὑπέμεινεν ὄλβον,
Μαινομέναις φρασὶν
Ἥρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐναὶ
Λάχον πολυγαθέες.
Ἀλλά νιν ὕβρις εἰς αὐάταν ὑπεράφανον
Ὧρσεν. τάχα δὲ παθὼν ἔοικοτ' ἀνὴρ,
Ἐξαίρετον ἔλε μόχθον. αἱ

cere in celeri rota perpetuo volutatum, *ut* benefactorem benevolis compensationibus excipientes remunerent. * Didicit autem *Ixion* rem-certam. Benevolos enim apud Saturnidas dulcem adeptus vitam, longam non sustinuit *eam* felicitatem, insana mente Junonem quando deperiit, quam Jovis cubilia sortita-sunt gaudiorum-plena. At ipsum injuria in damnum insolentem impulit. Mox vero passus sedigna vir *ille*, exquisitam sustinuit aerumnam. Haec duo

Δύο δ' ἀμπλακίαι,
Φερέπονοι τελέθονλι· τὸ μὲν
Ἥρως ὅτι τ' ἐμφύλιον αἷμα πρώ-
τιστος ἀν ἄτερ τέχνας
Επέμιξε θνατοῖς·

ἀντιστροφὴ β'. κώλων ιε'.

Ὅτι τὲ μεγαλοκευθέεσ-
σιν ἔν ποτε θαλάμοις
Διὸς ἄκοιτιν ἐπειρᾶ-
το· χρὴ δὲ καθ' αὑτὸν αἰεὶ
Παντὸς ὁρᾶν μέτρον.
Εὐναὶ δὲ παράτροποι, ἐς κακόταθ' ἁ-
θρόαν ἔβαλον ποτὶ
Καὶ τὸν ἵκοντ'· ἐπεὶ νεφέλᾳ παρελέξαλο,
Ψεῦδος γλυκὺ μεθέπων ἄϊδρις ἀνήρ.

autem peccata, quae-aerumnam-hanc-ei-attulerunt, sunt: et quod heros cognatum sanguinem primus non sine fraude admiscuit hominibus: * et quod magna-penetralia-habentibus aliquando in thalamis Jovis uxorem de-stupro-insidiose-sollicitavit. Oportet autem ut se semper decet cujusque *rei et facti* respicere modum. Concubitus vero illegitimi, in malum ingens conjecerunt, ad *inconcessa* et hunc accedentem. Quia nube concubuit, deceptionem dulcem

Εἶδος γὰρ ὑπεροχωτάτᾳ
Πρέπεν ὑρανίᾳ
Θυγατέρι Κρόνυ· ἄν τε δόλον
Αὐτῷ θέσαν Ζηνὸς παλάμαι, καλὸν
Πῆμα. τὸν δὲ τετράκνα-
μον ἔπραξε δεσμὸν,

ἐπῳδὸς Γ'. κώλων ιδ'.

Ἐὸν ὄλεθρον ὅ γ'. ἐν δ' ἀφύκλοι-
σι γυοπέδαις πεσὼν,
Τὰν πολύκοινον ἀνεδέ-
ξατ' ἀγγελίαν. ἄνευ δ' οἱ Χαρίτων τέκε
Γόνον ὑπερφίαλον,
Μόνα, χὐ μόνον, ὕτ' ἐν ἀν-
θράσι γερασφόρον, ὕτ' ἐν θεῶν νόμοις·
Τὸν ὀνύμαξε τράφοισα Κένταυρον. ὃς

tectatus inscius vir. Forma enim *nubis*, praestantissimae conveniebat coelesti filiae Saturni: hancque *in* dolum ipsi fecerant Jovis manus, pulchrum malum. Quadriradium autem fecit *dum peccavit* vinculum, * suam perniciem ille. In vero non-evitabilia membrorum-vincula illapsus, illud multum commune in-se-suscepit nuncium. Absque vero ei Gratiis peperit sobolem superbam, sola, et solam, neque inter homines honoratam, neque in deorum legibus: quam

Ἵπποισι Μαγνη-
τίδεσσιν ἐμίγνυτ' ἐν Πα-
λίᾳ σφυρῶις. ἐκ δ' ἐγένοντο ϛρατὸς
Θαυμαϛὸς, ἀμφοτέροις
Ὁμοῖοι τοκεῦσι, τὰ μὲν πατρόθεν μὲν,
Κάτω, τὰ δ' ὕπερθε, πατρός.

ϛροφὴ γ'. κώλων ιϛ'.

Θεὸς ἅπαν ἐπὶ ἐλπίδεσ-
σι τέκμαρ ἀνύεται.
Θεὸς ὃ κἠ πλερόεντ' ἀε-
τὸν κίχε, κἠ θαλασσαῖ-
ον παραμείβεται
Δελφῖνα, κἠ ὑψιφρόνων τιν' ἔκαμψε
Βροτῶν· ἑτέροισι δὲ
Κῦδος ἀγήραον παρέδωκ'. ἐμὲ δὲ χρεών,

nominavit nutrix Centaurum. Qui equabus Magnesiis miscebatur in Pelii convallibus. Ex *eo* vero nati erant exercitus admirandus, utrisque similes parentibus, quae a matre quidem, inferius, desuper vero patris. *Deus omnem spe *i.e. voluntate sua* exitum perficit. Deus *inquam* qui et pernicem aquilam assequitur, et marinum antevertit delphinem, et superborum aliquem flexit mortalium: caeteris vero *non superbis* decus non senescens dedit. Me vero decet fugere

Φεύγειν δάκος ἀδινὸν, κακαγορίαν.
Εἶδον γὰρ ἐκὰς ἐὼν, τὰ πόλ-
λ' ἐν ἀμαχανίᾳ
Ψογερὸν Ἀρχίλοχον βαρυλό-
γοις ἔχθεσιν πιαινόμενον. τὸ πλυ-
τεῖν δὲ σὺν τύχᾳ πότμυ
Σοφίας, ἄριστον.

ἀντιστροφὴ γ'. κῶλων ιε'.

Τὺ δὲ σάφα νιν ἔχεις, ἐλευ-
θέρᾳ φρενὶ πεπαρεῖν,
Πρύτανι, κύριε πολλᾶν
Μὰν εὐστεφάνων ἀγυιᾶν,
Καὶ στρατῦ. εἰ δέ τις
Ἤδη κλεάτεσσί τε καὶ περὶ τιμᾷ
Λέγει ἕτερόν τιν' ἀ-

morsum nimium, maledicentiam Vidi enim *quamvis* procul existens, ut plurimum in angustiis conviciatorem Archilochum maledicis odiis impinguatum. Ditescere autem ita ut conjuncta-sit sors sapientiae, optimum *est.* *Tu vero indubitato hoc potes, liberali animo suppeditare, ô rex, domine multorum bene-coronatorum *muris* vicorum, et *numerosi* populi. si vero quis jam divitiisque et honore, dicit a-

ν' Ἑλλάδα τῶν πάροιθε, γενέσθαι ὑπέρλεχον,
Χαύνᾳ πραπίδι παλαιμονεῖ κενεᾷ.
Εὐανθέα δ' ἀναβάσομαι
Στόλον, ἀμφ' ἀρετᾷ
Κελαδέων. νεόταλι μὲν, ἀ-
ρήγει θράσος δεινῶν πολέμων· ὅθεν
Φαμὶ χὴ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν,

ἐπῳδὸς γ'. κώλων ιδ'.

Τὰ μὲν ἐν ἱπποσάμοισιν ἀνδρά-
σι μαρνάμενον, τὰ δ' ἐν
Πεζομάχαισι· βυλαὶ
Δὲ πρεσβύτεραι, ἀκίνδυνον ἐμοὶ ἔπος
Ποτὶ ἅπανλα λόγον
Επαινεῖν παρέχονλι. χαῖ-

lium quendam per Graeciam majorem fuisse superiorem, laxa mente luctatur *et* inani. Sed *omissis hisce* amoenam conscendam classem, de virtute *Hieronis* dicturus. Juventuti quidem *tuae* auxiliatur audacia gravium bellorum: unde censeo etiam te tam immensam gloriam invenisse, * cum inter equestres viros pugnantem, tum inter pedestres: consilia vero tua senioris, tutam mihi materiam ad omnem rationem laudandi praebent. Ave. Hoc

ρε. τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν
Μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται.
Τὸ Καστόρειον
Δ' ἐν Αἰολίδεσσι χορδαῖς
Θέλων, ἄθρησον χάριν ἑπλακτύπου
Φόρμιγγος ἀντόμενος.
Γένοι' οἷος ἐσσί, μαθὼν· καλός τοι
Πίθων παρὰ παισὶν, αἰεὶ

στροφὴ δ'. κώλων ιε'.

Καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ
Πέπραγεν, ὅτι φρενῶν
Ἔλαχε καρπὸν ἀμώμη-
τον· ὐδ' ἀπάταισι θυμὸν
Τέρπεται ἔνδοθεν·
Οἷα ψιθύρων παλάμαις ἕπετ' αἰεὶ

tune ad-modum Phoeniciae mercis carmen trans canum mare mittitur. Castoreum vero meum in Aeoliis fidibus si approbas, considera gratiam septisonae citharae obviam *i.e. prompta*. Sis, qualis es, quum scias. Pulcher sane simiolus apud pueros, semper pulcher. Rhadamanthus autem beatus est, quod mentis sortitus est fructum inculpatum: neque dolis *in* animo oblectatur intus: qualia susurronum adartes sequuntur semper mor-

Βροτῶν. ἄμαχον κακὸν
Αμφοτέροις, διαβολιᾶν ὑποφάτιες,
Οργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.
Κέρδει δὲ, τί μάλα τοῦτο κερ-
δαλέον τελέθει;
Ἄτε γὰρ εἰνάλιον πόνον ὀ-
χοίσας βαθὺ σκευᾶς ἑτέρας, ἀβά-
πλιστός εἰμι, φελλὸς ὡς,
Ὑπὲρ ἔρκος ἅλμας.

ἀντιστροφὴ δ'. κώλων ιε'.

Αδύναλα δ' ἔπος ἐκβαλεῖν
Κραταιὸν ἐν ἀγαθοῖς,
Δόλιον ἀστόν. ὅμως μὰν
Σαίνων ποτὶ πάντας ἄγαν,
Πάγχυ διαπλέκει.

talium. Inextricabile malum *sunt* utrisque, calumniarum interpretes, moribus impense vulpibus similes. *Quoad* lucrum vero, quid adeo hoc lucrosum est? Nimirum enim marinum laborem sustinente profunde funiculo altero, immersabilis sum, suberis instar, super septum maris-sali... *Impossibile est* verbum emittere, valens inter bonos, dolosum civem. Et tamen adulans omnes admodum, valde omni... perplexa-facit. Non partici...

Οὔ οἱ μετέχω Θρᾴσεος. φίλον εἶη
φιλεῖν· ποτὶ δ' ἐχθρὸν ἄ-
τ' ἐχθρὸς ἐὼν, λύκοιο δίκαν ὑποθεύσομαι,
Αλλ' ἄλλοΐε πατέων ὁδοῖς σκολιαῖς.
Εν πάϊλα δὲ νομὸν, εὐθύγλωσ-
σος ἀνὴρ προφέρει·
Παρὰ τυραννίδι· χ' ὥπόταν ὁ
Λαβρος ϛρατὸς· χ' ὥταν πολιν οἱ σοφοὶ
Τηρέωνϊι. χρὴ δὲ πρὸς
Θεὸν ὐκ ἐρίζειν,

ἐπῳδὸς δ'. κώλων ιδ'.

Ος ἀνέχει τοτὲ μὲν τὰ κείνων·
Τοτ' αὖ δ' ἑτέροις ἔδω-
κεν μέγα κῦδος. ἀλλ' ὐ-
δὲ ταῦτά γε νῦν ἰαίνει φθονερῶν. ϛάθμας

audaciam. Amicum liceat amare: contra inimicum vero utpote inimicus existens, lupi more curram, aliis *vestigiis* alias inambulans viis obliquis. Ad omnem autem administrationem, recti linguis vir prodest: *et* in tyrannide: et quando ferox populus: et quando urbem sapientes custodiunt. Oportet vero contra Deum non contendere, * qui stabilit interdum quidem res illorum: interdum rursus vero aliis dare-solet magnam gloriam. Sed neque haec animum oblectant

Δέ τινος ἑλκόμενοι
Περισσᾶς, ἐνέπαξαν ἕλ-
κος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ,
Πρὶν ὅσα φροντίδι μηχανῶνται τυχεῖν.
Φέρειν δ' ἐλαφρῶς,
Επαυχένιον λαβόντα
Ζυγόν γ' ἀρήγει. ποτὶ κέντρον δέ τοι
Λακτιζέμεν, τελέθει
Ολιοθηρὸς οἶμος. ἄδονται δ' εἴη
Με τοῖς ἀγαθοῖς ὁμιλεῖν.

invidorum. Libra vero alicujus, qui trahuntur abundante, infligere solent ulcus dolorificum suo prius cordi, quam quae cogitatione quaerunt assequantur. Ferre vero leviter, super-humeros assumptum jugum *mihi* prodest. Contra simulum vero calcitrare, est perniciosa ratio. Placentem vero liceat me cum bonis conversari.

ΕΙΔΟΣ Γ'.

ΤΩι ΑΥΤΩι ΙΕΡΩΝΙ, ΚΕΛΗΤΙ.

στροφὴ α'. κώλων ιγ'.

Ηθελον Χείρωνά κε Φιλλυρίδαν
Εἰ χρεὼν τᾶθ' ἀμετέρας ἀπὸ γλώσ-
σας κοινὸν εὔξασθαι ἔπος,
Ζώειν τὸν ἀποιχόμενον,
Οὐρανίδα γόνον εὐ-
ρυμέδοντα Κρόνου,
Βάσσαισί τ' ἄρχειν Παλίου,
Φῆρ' ἀγρότερον,
Νῶν ἔχοντ' ἀνδρῶν φίλον· οἷ-
ος ἐὼν θρέψεν ποτὲ
Τέκτον' ἀνωδυνίας
Ἄμερον γυαρκέος Ασκλαπιὸν

ODE III. EIDEM HIERONI, CELETE VICTORIAM ADEPTO.

Velim Chironem Phillyriden, si fas-sit hoc nostra a lingua ter commune optare carmen, vivere defunctum, coelo-sati proboleni late potentem Satur-ni, vallibusque *denuo* imperare Pelii, bestiam *quidem* agrestem, *sed* mentem habentem viris amicum: qualis existens educavit olim effectorem indolentiae mitem membris-sufficientis Æsculapium heroa, omni-

Ἄρωα, παντοδαπᾶν ἀλκτῆρα νόσων.

ἀντιστροφὴ ά. κώλων ιγ'.

Τὸν μέν εὐΐππου Φλεγύα θυγάτηρ,
Πρὶν τελέσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ, δαμεῖσα χρυσέοις
Τόξοισιν ὑπ' Ἀρτέμιδος,
Εἰς Ἀΐδα δόμον, ἐν
Θαλάμῳ, κατέβα,
Τέχναις Ἀπόλλωνος. χόλος
Δ' οὐκ ἀλίθιος
Γίνεται παίδων Διός. ἃ
Δ' ἀποφλαυρίξασά μιν
Ἀμπλακίαισι φρενῶν,
Ἄλλον ἄϊνησε γάμον, κρύβδαν πατρὸς
Πρόσθεν ἀκερσεκόμᾳ μιχθεῖσα Φοίβῳ.

um propulsatorem morborum. * Quem boni-equitis Phlegyae filia, antequam finiisset cum matribus praesente Lucina, domita aureis sagittis a Diana, in Plutonis domum, in thalamo, descendit, technis Apollinis. Ira enim irrita est filiorum Jovis. vero contempto ipso *Ap* ne errore mentis, alias vit nuptias, clam patre tea intonso commixta *Phoe*

ἐπῳδὸς ά. κώλων ιέ.

Καὶ φέροισα σπέρμα Διὸς καθαρὸν,
Οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν,
Οὐδὲ παμφώνων ἰαχὰν
Ὑμεναίων, ἄλικες
Οἷα παρθένοι φιλέοισιν ἑταῖραι
Ἑσπερίαις ὑποκυ-
ρίζειν ἀοιδαῖς. ἄλλά τοι
Ἤρατο τῶν ἀπεόν-
των. οἷα κἠ πολλοὶ πάθων.
Ἐστι δὲ φῦλον ἐν ἀν-
θρώποισι ματαιόταλον,
Ὅστις αἰσχύνων ἐπιχώ-
ρια, παπταίνει τὰ πόρσω,
Μεταμώνια θη-

* Quumque ferret semen dei purum, non expectavit dum veniret mensa sponsalis, neque omnisonorum clamor hymenaeorum, coaetaneae uti virgines solent sociae vespertinis juveniliter-ludere cantibus. At amavit absentia. Qualiter etiam multi affecti-fuerunt. Est vero genus inter homines vanissimum, quicunque contemnens indigena, circumspi-

ρεύων ἀκράντοις ἐλπίσιν.

στροφὴ ϛ'. κώλων ιγ'.

Εχε τοιαύταν μεγάλαν αὐάταν
Καλλιπέπλυ λῆμα Κορωνίδος. ἐλ-
θόντος γὰρ εὐνάθη ξένυ
Λέκτροισιν ἀπ' Αρκαδίας.
Οὐ δ' ἔλαθε σκοπόν. ἐν
Δ' ἄρα μηλοδόκῳ
Πυθῶνι τόσ' εἰσάϊεν
Ναὸν βασιλεὺς
Λοξίας, κοινῶνι παρ' εὐ-
θυτάτῳ, γνώμαν πιθών,
Πάντα ἴσανλι νόῳ.
Ψευδέων δ' ὐχ ἅπλεται· κλέπλει τέ μιν
Οὐ θεὸς, ὐ βροτὸς, ἔργοις ὔτε βυλαῖς.

cit-ad remota, vana consectans irrita spe. *Habuit hujusmodi magnam calamitatem bene-vestitae fastus Coronidis. Venientis enim cubuit hospitis *in* stratis, ab Arcadia. Non autem latuit speculatorem. In enim ovium-mactatarum-receptrice Pythone haec-omnia sensit templi *ibidem* rex Loxias, *quum* consiliarium apud rectissimum, opinionem *de Coronide* ratam fecisset, omnia *apud* scientem intellectum. Nam mendaciis non tangitur: fallitque eum nec deus, nec homo,

ἀντιστροφὴ Β'. κώλων ιγ'.

Καὶ τότε γνὺς Ἰσχυος Εἰλατίδα
Ξεινίαν κοίταν, ἄθεμίν τε δόλον,
Πέμψεν κασιγνήταν μένει
Θύοισαν ἀμαμακέτῳ,
Ες Λακέρειαν. ἐπεὶ
Παρὰ Βοιβιάδος
Κρημνοῖσιν ὤκει παρθένος.
Δαίμων δ' ἕτερος,
Ες κακὸν τρέψαις ἐδαμά-
σατό νιν. ϗ γειτόνων
Πολλοὶ ἐπαῦρον. ἁμᾶ
Δ' ἔφθαρεν, πολλάν τ' ὄρει πῦρ ἐξ ἑνὸς
Σπέρμαλος ἐνθορὸν αἰΐσσωσεν ὕλαν.

nec factis nec consiliis. * *Itaque* et tunc sentiens Ischyis Elatidae peregrinum concubitum, nefariumque dolum, misit sororem *Dianam* animi ardore furentem impetuoso, in Laceream. Nam ad Boebiadis ripas habitabat virgo. Daemon vero alter *malus scilicet*, ad malum qui impulerat, perdidit eam. Et vicinorum multi participes fuerunt. Nam simul perdidit, multamque *in* monte ignis ex uno semine insiliens

ἐπῳδὸς Β'. κώλων ιε'.

Αλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ
Σύγγονοι κύραν, σέλας δ' ἀμφέβραμε
Λάβρον Αφαίςȣ, τότ' ἔειπεν Απόλλων, ȣ̓κ ἔτι
Τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσσαι
Οἰκτροτάτῳ θανάτῳ,
Ματρὸς βαρείᾳ σὺν πάθᾳ.
Ὡς φάτο. βάμαλι δ' ἐν
Πρώτῳ, κιχὼν παῖδ', ἐκ νεκρῶν
Ἄρπασε. καιομένα
Δ' αὐτῷ διέφαινε πυρά.
Καὶ ῥά μιν Μάγνηλι φέρων
Πόρε Κενταύρῳ, διδάξαι
Πολυπήμονας ἀν-

vastavit silvam. *At postquam strue collocarunt in lignea cognati puellam, fulgorque circumcurrit creber Vulcani, tunc dixit Apollo: Nondum sustinebo animo genus meum perdere miserandissima morte, matris gravi cum calamitate. Sic dixit. Gressuque in primo, complexus puerum, ex cadavere eripuit. Ardens autem ipsi divisa apparuit pyra. Et sane eum Magnesio afferens tradidit Centauro, ut docerent *eum* multinocuos hominibus

θρώποισιν ἰᾶσθαι νόσους.

τροφὴ γ'. κώλων ιγ'.

Τοὺς μὲν ὧν, ὅσοι μόλον, αὐτοφύτων
Ἑλκέων ξυνάονες, ἢ πολιῷ
Χαλκῷ μέλη τετρωμένοι,
Ἢ χερμάδι τηλεβόλῳ,
Ἢ θερινῷ πυρὶ περ-
θόμενοι δέμας, ἢ
Χειμῶνι· λύσαις ἄλλον ἀλ-
λοίων ἀχέων
Ἐξαγεν· τοὺς μὲν μαλακαῖς
Ἐπαοιδαῖς ἀμφέπων,
Τοὺς δὲ προσανέα πί-
νοντας, ἢ γύοις περάπτων πάντοθεν
Φάρμακα, τοὺς δὲ τομαῖς, ἔσασεν ὀρθούς.

sanare morbos. * Eos igitur, quotquot venere, sponte-enatorum ulcerum participes, aut fulgido aere membra vulnerati, aut saxo eminus-jacto, aut aestivo calore depopulati corpus, aut frigore-hyberno: liberans alium ex aliis doloribus eduxit: alios quidem mollibus incantationibus curans, alios vero convenientia bibentes, aut membris circum-nectens undique pharmaca, aliosque sectionibus, restituit sanos.

ἀντιστροφὴ γ'. κώλων ιγ'.

Αλλὰ κέρδει κὴ σοφία δέδεται.
Ετραπεν κἀκεῖνον ἀγάνορι μι-
σθῷ χρυσὸς ἐν χερσὶν φανεὶς,
Ανδρ' ἐκ θανάτυ κομίσαι,
Ηδη ἁλωκότα. χερ-
σὶ δ' ἄρα Κρονίων
Ῥίψαις δι' ἀμφοῖν, ἀμπνοὰν
Στέρνων καθέλεν
Ωκέως· αἴθων δὲ κεραυ-
νὸς ἐνέσκηψε μόρον.
Χρὴ τὰ ἐοικότα πὰρ
Δαιμόνων μαςευέμεν θναταῖς φρεσὶ,
Γνόντα τὸ πὰρ ποδὸς, οἵας εἰμὲν αἴσας.

* Verum lucro etiam sapientia irretiri-solet, pervertit *enim* et illum ingenti mercede aurum in manibus apparens, virum e morte ut-reduceret, jam captum *i. e. mortuum*. Manibus igitur Saturnius *fulmen* jaculatus per utrumque, respirationem pectorum abstulit celeriter: ardensque fulmen inflixit mortem. Oportet conveniencia e diis quaerere mortalibus mentibus, scientem quod ante pedes, qualis simus sortis.

ἐπῳδὸς γ'. κώλων ιε'.

Μὴ φίλα ψυχὰ βίον ἀθάναλον
Σπεῦδε. τὰν δ' ἔμπρακλον ἄνλῳ μαχανάν.
Εἰ δὲ σώφρων ἄντρον ἔναι'
Ετι Χείρων, καί τί οἱ
Φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
Ἀμέτεροι τίθεν· ἰ-
ατῆρά τοι κέν μιν πίθον,
Καί νυν ἐσλοῖσι παρα-
χεῖν ἀνδράσι θερμᾶν νόσων,
Ἤ τίνα Λατοΐδα
Κεκλημένον, ἢ πατέρος.
Καί κεν ἐν ναυσὶ μόλον, Ι-
ονίαν τέμνων θάλασσαν,
Ἀρέθυσαν ἐπὶ

* Ne anime mi vitam immortalem affecta. Sed possibilem exerce artem. Si vero prudens antrum *suum* inhabitaret adhuc Chiron, et aliquod ei incitamentum in animo dulciloqui hymni nostri ponerent: medicum, utique ipsi persuaderem, *ut* et nunc *aut seipsum* bonis praeberet viris calidorum morborum, aut aliquem Latoidae dictum, aut patris *ejus, i. e. Jovis filium:* et sane in navibus proficiscerer, Ionium sulcans mare, Arethusam apud

Κράναν, παρ' Αἰτναῖον ξένον,

στροφὴ δ'. κῶλων ιγ'.

Ὃς Συρακόσαισι νέμει, βασιλεὺς
Πραΰς ἀστοῖς, ὐ φθονέων ἀγαθοῖς,
Ξείνοις δὲ θαυμαστὸς πατήρ.
Τῷ μὲν διδύμας χάριτας,
Εἰ κατέβαν, ὑγίει-
αν ἄγων χρυσέαν,
Κῶμόν τ' ἀέθλον Πυθίων,
Αἴγλαν στεφάνοις,
Τὰς ἀρισεύων Φερένι-
κος ἔλε Κίρρᾳ ποτέ·
Ἀστέρος ὐρανίου,
Φαμὶ, τηλαυγέστερον κείνῳ φάος
Ἐξικόμαν κε, βαθὺν πόντον περάσας.

fontem, ad Ætnaeum hospitem, * qui Syracusas gubernat, rex clemens civibus, non invidens bonis, hospitibus autem admirandus pater. Cui quidem geminam gratiam, si descendissem, *et* sanitatem afferens auream, celebrationemque certaminum Pythiorum, quae esset splendor coronae, quas vincens Pherenicus eque accepit Cirrhae aliquando stella coelesti, opinor, splendidius ille lumen venirem tique profundo mari traject

* Sed v
lo matr
meum
celebra
dam de
ro serm
mam ô

ἀντιστροφὴ δ'. κῶλων ιγ'.

Αλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω
Ματρὶ, τὰν κῦραι παρ' ἐμὸν πρόθυρον
Σὺν Πανὶ μέλπονται θαμὰ
Σεμνὰν θεὸν ἐνύχιαι.
Εἰ δὲ λόγων συνέμεν
Κορυφὰν Ἱέρων
Ορθὰν ἐπίστα· μανθάνων
Οἶδα προτέρων·
Ἓν παρ' ἐσλὸν, πήματα σὺν
Δύο δαίονται βροτοῖς
Αθάνατοι. τὰ μὲν ὤν
Οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
Αλλ' ἀγαθοὶ, τὰ καλὰ τρέψαντες ἔξω.

[a] Sed vota facere equidem volo matri, quam puellae juxta meum vestibulum cum Pane celebrant frequenter venerandam deam nocturnae. Si vero sermonum intelligere summam ô Hiero veram potes: edoctus scis *ex hominibus* prioribus: *quod* unum ad bonum damna una gemina distribuant mortalibus immortales. Illa vero non possunt stulti decenter ferre. Sed boni, meliora qui-obvertere-solent extra.

ἐπῳδὸς δ'. κώλων ιε'.

Τὶν δὲ μοῖρ' εὐδαιμονίας ἔπελαι.
Λαγέταν γάρ τοι τύραννον δέρχεται,
Εἴ τιν' ἀνθρώπων, ὁ μέγας
Πότμος. αἰὼν δ' ἀσφαλὴς
Οὐκ ἔγεντ', ἔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ,
Οὔτε παρ' ἀντιθέῳ
Κάδμῳ· λέγονται μὰν βροτῶν
Ὄλβον ὑπέρλατον οἳ
Σχεῖν· οἵτε κὴ χρυσαμπύκων
Μελπομενᾶν ἐν ὄρει
Μοισᾶν, κὴ ἐν ἑπταπύλοις
Αἴων Θήβαις, ὁπόθ' Ἁρ-
μονίαν γᾶμεν βοῶπιν·
Ὁ δὲ Νηρέος εὐ-

*Tibi vero sors felicitatis contingit. Ducem-populorum etenim tyrannum respicit, si quenquam hominum, magnum fatum. Vita vero omnis-calamitatis-expers non fuit, neque Æacidam apud Peleum, neque apud divinum Cadmum: dicuntur tamen mortalium felicitatem summam qui habuisse: quique et aureis-reticulis-redimitas canentes in monte *Pelio* musas, et in septem-portas-habentibus audierunt Thebis, quando Harmoniam duxit magnis-oculis-insignem. Alter

ξέλιξ Θέτιν παῖδα κλυτάν.

στροφὴ ε'. κώλων ιγ'.

Καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις·
Καὶ Κρόνου παῖδας βασιλῆας ἴδον
Χρυσέαις ἐν ἕδραις· ἔδνά τε
Δέξαντο· Διὸς δὲ χάριν
Ἐκ προτέρων μεταμει-
ψάμενοι καμάτων,
Ἔσασαν ὀρθὰν καρδίαν.
Ἐν δ' αὖτε χρόνῳ,
Τὸν μὲν ὀξείαισι θύγα-
τρες ἐρήμωσαν πάθαις
Εὐφροσύνας μέρος αἰ
Τρεῖς. ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ
Ἦλυθεν ἐς λέχος ἱμετρὸν Θυώνᾳ.

ero *Peleus* Nerei prudentis Thetin filiam inclytam. * Et ii epulati-sunt apud utrosque: t Saturni filios reges viderunt ureis in thronis: muneraque-ponsalia *ab illis* acceperunt: ovis vero gratia ex prioribus mutata-fortuna-erepti malis, firmarunt cor rectum. At posteriore tempore illi quidem *Cadmo* acutis filiae abstulerunt malis laetitiae partem tres. Sed albis-ulnis Jupiter pater venit in cubile amabile Thyonae.

ἀντιστροφὴ ε'. κώλων ιγ'.

Τᾷ δὲ παῖς, ὃν περ μόνον ἀθανάτα
Τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ
Τόξοις ἀπὸ ψυχὰν λιπών,
Ὧρσεν πυρὶ καιόμενος
Ἐκ Δαναῶν γόον. εἰ
Δὲ νόῳ τις ἔχει
Θνατῶν ἀλαθείας ὁδόν·
Χρὴ πρὸς μακάρων
Τυγχάνοντ' εὖ παχέμεν. ἄλ-
λοτε δ' ἀλλοῖαι πνοαὶ
Ὑψιπετᾶν ἀνέμων.
Ὀλβος ὠκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται.
Ὅς πολὺς εὖτ' ἂν ἐπιβρίσας ἔπηται·

* Hujus autem filius, quem solum immortalis peperit in Phthia Thetis, in bello sagittis anima amissa, concitavit igni concrematus *editum* a Danais planctum. Si vero mente quis habet mortalium veritatis viam: decet *illum* a beatis a- secutum *quamcunque* sorte bene ferre. Alias vere alii fa- tus *sunt* alte-volantium ventō- rum. Divitiae non ad longa hominum veniunt. Quae ma- nae si praegravantes *me*

ἐπῳδὸς ε'. κῶλων ιϛ'.

Σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις
Ἔσομαι. τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶ
Δαίμον' ἀσκήσω, κατ' ἐμὰν
Θεραπεύων μαχανάν.
Εἰ δέ μοι πλοῦτον θεὸς ἄφρον ὀρέξαι,
Ἐλπίδ' ἔχω κλέος εὑ-
ρέσθαι κεν ὑψηλὸν πρόσω.
Νέστορα καὶ Λύκιον
Σαρπηδόν', ἀνθρώπων φάτις,
Ἐξ ἐπέων κελαδεν-
τῶν, τέκμονες οἷα σοφοὶ
Ἄρμοσαν, γινώσκομεν. ἀ
Δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς

